λείψω, τέρψω, γράψω, τύψω. Ὁ Παρακείμενος εἰς Φ. οἷον, λέλειφα, τέτερφα, γέγραφα, τέτυφα.

Δευτέρα.

§. ρέ. Δευτέρα ἐςὶ, τῶν ληγόντων εἰς γ, κ, χ, κτ. οἷον, λέγω, πλέκω, τρέχω, τίκτω. ὧν ὁ Μέλλων εἰς ξ. οἷον, λέξω, πλέξω, τρέξω, τέξω. Ὁ Παρακείμενος εἰς χ. οἷον, λέλεχα, πέπλεχα, τέτρεχα, τέτεχα.

Τρίτη.

§. ρς΄. Τρίτη ἐςὶ, τῶν ληγόντων εἰς δ, θ, τ. οἷον, ᾄδω, πλήθω, ἀνύτω. ὧν ὁ Μέλλων εἰς σ. οἷον, ᾄσω, πλήσω, ἀνύσω. ὁ Παρακείμενος εἰς κ. οἷον, ᾖκα, πέπληκα, ἤνυκα.

Τετάρτη.

§. ρς΄. Τετάρτη ἐςὶ, τῶν εἰς ζ, ἢ δύο σσ κοινῶς, ἢ δύο ττ ἀττικῶς. οἷον, φράζω, ὀρύσσω, καὶ ὀρύττω. καὶ τὰ μὲν εἰς ζω, ποτὲ μὲν τὸ ξ ἐν τῷ μέλλοντι ἔχουσιν. οἷον, παίζω, παίξω. ποτὲ δὲ τὸ σ. οἷον, βαδίζω, βαδίσω. τὰ δὲ εἰς σσω, ἢ εἰς ττω, ὡς ἐπιτοπλεῖστον εἰς ξω τὸν μέλλοντα ποιοῦσιν. οἷον, ὀρύσσω, καὶ ὀρύττω, ὀρύξω. πλήσσω, καὶ πλήττω, πλήξω. ὧν ὁ Παρακείμενος τὸ χ ἔχει. οἷον, ὤρυχα, πέπληχα. ἐξαιρείσθω τὰ εἰς σω τὸν μέλλοντα ποιοῦντα. οἷον, ἱμάσσω, ἱμάσω. ἵνασσω, ἱνάσω. πλάσσω, πλάσω. πάσσω, πάσω. λεύσσω, λεύσω. ἐρέσσω, ἐρέσω. ὧν ὁ Παρακείμενος τὸ κ ἔχει.

Πέμπτη.

§. ρζ΄. Πέμπτη ἐςὶ, τῶν τεσσάρων ἀμεταβόλων,